# ΓΡΗΓΟΡΙ´ΟΥ ΤΟΥ͂
## ΘΕΟΛΟ´ΓΟΥ ΤΑ` ΧΡΙΣΤΟΥ͂

θαύματα κ(ατὰ) τὸν Ἰωάννην.

Παῦρα δ' Ἰωάννου δήεις ἱερῇ ἐνὶ βίβλῳ
θαύματα μὲν, πολλοὺς δὲ λόγους Χριστοῖο ἄνακτος.
ἦν γάμος, οἰνοχόοι δ' ἐκέρων ἐξ ὕδατος οἶνον. Κεφ. β'.
εἶπε, καὶ υἱὸς ἄνουσος ἔην κάμνων βασιλικοῦ. δ'.
εἶπε, λέχος δ' ἀνάειρεν, ὃς οὐ φύγε δεσμὰ λοετροῖς. ε'.
πέντε δ' ἐπτ' ἄρτων τέλεσεν πέρας. ἔνθεν ὅδευε ϛ'.
πόντον ὑπερζείοντα, καὶ ἐξεσάωσε μαθητάς. ϛ'.
τυφλὸν δ' ἐκ γενετῆς ἰήσατο πηλὸν ἀλείψας. θ'.
τέτρατον ἦμαρ ἔην, καὶ Λάζαρος ἔγρετο τύμβου. ια'.
αὐτὰρ ὅ γε νεκύεσσι θάνεν, καὶ ζῶσιν ἀναστὰς ιθ'.
Χριστὸς ἄναξ ἀναφανδὸν ὁμίλεεν οἷς ἑτάροισι. κ' γε κα'.